**Walking on the Water (Mt 14:22-33; Mk 6:45-52; Jn 6:16-21)**

| | | |
|---|---|---|
| [22] Καὶ εὐθέως<br>⸀ἠνάγκασεν τοὺς<br>μαθητὰς ἐμβῆναι ⸀εἰς<br>πλοῖον καὶ προάγειν<br>αὐτὸν εἰς τὸ πέραν,<br>ἕως οὗ ἀπολύσῃ τοὺς<br>ὄχλους. [23] καὶ<br>ἀπολύσας τοὺς ὄχλους<br>ἀνέβη εἰς τὸ ὄρος κατʼ<br>ἰδίαν προσεύξασθαι.<br>ὀψίας δὲ γενομένης<br>μόνος ἦν ἐκεῖ. [24] τὸ δὲ<br>πλοῖον ἤδη ⸂σταδίους<br>πολλοὺς ἀπὸ τῆς γῆς<br>ἀπεῖχεν⸃,<br>βασανιζόμενον ὑπὸ<br>τῶν κυμάτων, ἦν γὰρ<br>ἐναντίος ὁ ἄνεμος. [25]<br>τετάρτῃ δὲ φυλακῇ τῆς<br>νυκτὸς ⸀ἦλθεν πρὸς<br>⸀αὐτοὺς περιπατῶν ἐπὶ<br>⸂τὴν θάλασσαν⸃. [26] ⸂οἱ<br>δὲ μαθηταὶ ἰδόντες<br>αὐτὸν⸃ ἐπὶ ⸂τῆς<br>θαλάσσης⸃<br>περιπατοῦντα<br>ἐταράχθησαν λέγοντες<br>ὅτι Φάντασμά ἐστιν,<br>καὶ ἀπὸ τοῦ φόβου<br>ἔκραξαν. [27] ⸀εὐθὺς δὲ<br>ἐλάλησεν ⸂αὐτοῖς ὁ<br>Ἰησοῦς⸃ λέγων·<br>Θαρσεῖτε, ἐγώ εἰμι· μὴ<br>φοβεῖσθε.<br>[28] Ἀποκριθεὶς δὲ<br>⸂αὐτῷ ὁ Πέτρος εἶπεν⸃· | [45] Καὶ ⸀εὐθὺς<br>ἠνάγκασεν τοὺς<br>μαθητὰς αὐτοῦ ἐμβῆναι<br>εἰς τὸ πλοῖον καὶ<br>προάγειν ⸂εἰς τὸ<br>πέραν⸃ πρὸς<br>Βηθσαϊδάν, ἕως αὐτὸς<br>⸀ἀπολύει τὸν ὄχλον. [46]<br>καὶ ἀποταξάμενος<br>αὐτοῖς ἀπῆλθεν εἰς τὸ<br>ὄρος προσεύξασθαι.<br>[47] Καὶ ὀψίας<br>γενομένης ἦν τὸ<br>πλοῖον ἐν μέσῳ τῆς<br>θαλάσσης, καὶ αὐτὸς<br>μόνος ἐπὶ τῆς γῆς. [48]<br>καὶ ⸀ἰδὼν αὐτοὺς<br>βασανιζομένους ἐν τῷ<br>ἐλαύνειν, ἦν γὰρ ὁ<br>ἄνεμος ἐναντίος<br>⸀αὐτοῖς, περὶ τετάρτην<br>φυλακὴν τῆς νυκτὸς<br>ἔρχεται πρὸς αὐτοὺς<br>περιπατῶν ἐπὶ τῆς<br>θαλάσσης· καὶ ἤθελεν<br>παρελθεῖν αὐτούς. [49] οἱ<br>δὲ ἰδόντες αὐτὸν ⸂ἐπὶ<br>τῆς θαλάσσης<br>περιπατοῦντα⸃ ἔδοξαν<br>⸂ὅτι φάντασμά ἐστιν⸃<br>καὶ ἀνέκραξαν, [50]<br>πάντες γὰρ αὐτὸν<br>εἶδον καὶ<br>ἐταράχθησαν. ⸂ὁ δὲ<br>εὐθὺς⸃ ἐλάλησεν μετʼ<br>αὐτῶν, καὶ λέγει | [16] Ὡς δὲ ὀψία ἐγένετο<br>κατέβησαν οἱ μαθηταὶ<br>αὐτοῦ ἐπὶ τὴν<br>θάλασσαν, [17] καὶ<br>ἐμβάντες ⸀εἰς πλοῖον<br>ἤρχοντο πέραν τῆς<br>θαλάσσης εἰς<br>Καφαρναούμ. καὶ<br>σκοτία ἤδη ἐγεγόνει<br>καὶ ⸀οὔπω ἐληλύθει<br>πρὸς αὐτοὺς ὁ Ἰησοῦς,<br>[18] ἥ τε θάλασσα<br>ἀνέμου μεγάλου<br>πνέοντος ⸀διεγείρετο.<br>[19] ἐληλακότες οὖν ὡς<br>σταδίους εἴκοσι πέντε<br>ἢ τριάκοντα θεωροῦσιν<br>τὸν Ἰησοῦν<br>περιπατοῦντα ἐπὶ τῆς<br>θαλάσσης καὶ ἐγγὺς<br>τοῦ πλοίου γινόμενον,<br>καὶ ἐφοβήθησαν. [20] ὁ δὲ<br>λέγει αὐτοῖς· Ἐγώ εἰμι,<br>μὴ φοβεῖσθε. [21] ἤθελον<br>οὖν λαβεῖν αὐτὸν εἰς<br>τὸ πλοῖον, καὶ εὐθέως<br>⸂ἐγένετο τὸ πλοῖον⸃ ἐπὶ<br>τῆς γῆς εἰς ἣν ὑπῆγον. [3] |

[3] Holmes, M. W. (2010; 2010). *The Greek New Testament: SBL Edition* (Jn 6:16–21). Logos Bible Software.

| | | |
|---|---|---|
| Κύριε, εἰ σὺ εἶ, κέλευσόν με ⸀ἐλθεῖν πρός σὲ⸁ ἐπὶ τὰ ὕδατα· 29 ὁ δὲ εἶπεν· Ἐλθέ. καὶ καταβὰς ἀπὸ τοῦ ⸀πλοίου Πέτρος περιεπάτησεν ἐπὶ τὰ ὕδατα ⸀καὶ ἦλθεν⸁ πρὸς τὸν Ἰησοῦν. 30 βλέπων δὲ τὸν ἄνεμον ⸀ἰσχυρὸν ἐφοβήθη, καὶ ἀρξάμενος καταποντίζεσθαι ἔκραξεν λέγων· Κύριε, σῶσόν με. 31 εὐθέως δὲ ὁ Ἰησοῦς ἐκτείνας τὴν χεῖρα ἐπελάβετο αὐτοῦ καὶ λέγει αὐτῷ· Ὀλιγόπιστε, εἰς τί ἐδίστασας; 32 καὶ ⸀ἀναβάντων αὐτῶν εἰς τὸ πλοῖον ἐκόπασεν ὁ ἄνεμος. 33 οἱ δὲ ἐν τῷ ⸀πλοίῳ προσεκύνησαν αὐτῷ λέγοντες· Ἀληθῶς θεοῦ υἱὸς εἶ. [1] | αὐτοῖς· Θαρσεῖτε, ἐγώ εἰμι, μὴ φοβεῖσθε.<br><br>51 καὶ ἀνέβη πρὸς αὐτοὺς εἰς τὸ πλοῖον, καὶ ἐκόπασεν ὁ ἄνεμος. καὶ λίαν ⸀ἐκ περισσοῦ⸁ ἐν ἑαυτοῖς ⸀ἐξίσταντο, 52 οὐ γὰρ συνῆκαν ἐπὶ τοῖς ἄρτοις, ⸀ἀλλ’ ἦν⸁ αὐτῶν ἡ καρδία πεπωρωμένη. [2] | |

In Mark’s version of the passage it is limited to Jesus’ walking on the water, being seen by the disciples, the disciples fearing, Jesus calming the disciples, and then Jesus getting into the boat. Interestingly enough John follows this same basic outline with a few minor details changes. Matthew on the other hand follows the outline but departs with a very important addition regarding Peter’s stepping out of the boat and walking on water. It is no doubt odd that both Mark and John fail to include this detail.

[1] Holmes, M. W. (2010; 2010). *The Greek New Testament: SBL Edition* (Mt 14:22–33). Logos Bible Software.
[2] Holmes, M. W. (2010; 2010). *The Greek New Testament: SBL Edition* (Mk 6:45–52). Logos Bible Software.